# 14 IULIE
# IRINIS POLIKRETI

# PARACLISUL SF.CUVIOS NICODIM ATHONITUL DE LA KAPSALA-ATHOS




## PARACLISIERUL PE IULIE-GR


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# Παρακλητικός Κανών στον Άγιο Νικόδημο τον Αγιορείτη

Ποίημα Εἰρήνης Β. Πολυκρέτη, θεολόγου

Ὁ Ἱερεύς: Εὐλογητός ὁ Θεός ἡμῶν πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων.
Ὁ Ἀναγνώστης: Ἀμήν.

Ψαλμός ρμβ΄ (142).

Καί εὐθύς τό, Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ἐξ ἑκατέρων τῶν Χορῶν, ὡς ἕξης:
Ἦχος δ΄.
Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίω, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.
Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. β΄. Πάντα τά ἔθνη ἐκύκλωσαν μέ, καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. γ΄. Παρά Κυρίου ἐγένετο αὕτη, καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. χριστιανος.gr

Εἶτα τά παρόντα Τροπάρια.
Ἦχος δ'. Ὁ ὑψωθεῖς ἐν τῷ Σταυρῷ.
Ἐν τοῖς Πατράσιν ὁ κλεινός θεολόγος, τῆς Ἐκκλησίας ἡ θεομουσος σάλπιγξ, τῶν μοναζόντων καύχημα, ἡμῶν ὁδηγός, ὕψωσον τούς ἀγαπῶντας σέ, εἰς Θεόν, ὄντας χαμερπεῖς,τῷ ἀετοπτέρῳ σου νοΐ καί θεοσόφῳ, τοῦ ἀπολαῦσαι δόξης θεϊκῆς τρισυποστάτου, Νικόδημε ὅσιε.
Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Θεοτοκίον.Οὐ σιωπήσομεν πότε, Θεοτόκε, τάς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μή γάρ σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δέ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἔκ σού, σούς γάρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ψαλμός Ν' (50).

Εἶτα ψάλλομεν τόν Κανόνα, οὗ ἡ ἀκροστιχίς: «Τόν Νικόδημον Ἁγιορείτην ἱκετεύομεν»

Ὠδή ἅ' Ἦχος πλ. δ'. Ὑγρᾶν διοδεύσας.
Ὅσιέ του Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Τῇ θεία ἀγάπη πυρακτωθεῖς, νοΐ καί καρδία, ἀγαπήσας τόν Ἰησοῦν, τά ὕψη τοῦ Πνεύματος ἐν Ἄθω, ὡς ὑψιπέτης ἀνῆλθες, Νικόδημε.
Ὅσιέ του Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Ὁ θεῖος τῆς Νάξου καί εὐκλεής, Νικόδημος μέγας, οἰκουμένης ὁ φωταυγής ἀστήρ, ὁ λαμπρότατος φωτίζει, τά τῆς ψυχῆς καί τοῦ νοῦ μου ἀπόκρυφα. χριστιανος.gr

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.
Ναξίας τό καύχημα τό τερπνόν, πρός σέ καταφεύγω, καί προσπίπτω σοί ἐκτενῶς, τήν Νάξον περισκεπε εὐχαίς σου, ὡς παρρησίαν σύ ἔχων πρός Κύριον.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Νοός μου τό σκότος τό ζοφερόν, πρός σέ καταφεύγω, καί προσπίπτω σοί ταπεινῶς, διαλυσον, Κόρη Θεομῆτορ, καί φωτισμόν διανοίας μοί δώρησαι.

Ὠδή γ'. Οὐρανίας ἁψῖδος.
Ὅσιέ του Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Ἰοβόλον τόν ὄφιν, καταβαλῶν, Ὅσιε, καί ἀγωνισθεῖς ἐλαμπρύνθης τή θεία χάριτι, τή παρρησία σου, ἐκδυσωπῶν τόν Δεσπότην, τάς δεήσεις ἴθυνον τοῦ ἐλεῆσαι μέ.
Ὅσιέ του Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Καταθέτω σοί, πάτερ, τόν ψυχικόν τάραχον, καί τῆς βοηθείας σου χείρα τάχιστα ἔκτεινον, ὅτι, Νικόδημε, τόν ἀρχηγόν τῆς γαλήνης, τόν Χριστόν ἐδόξασας τόν σέ δοξάσαντα.
Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.
Ὁ θεοσοφός νοῦς σου, ἑρμηνευτής ἄριστος, ἀγγελοειδῶς ἐκινήθη θείοις συγγράμμασι, ταῦτα ἡρμήνευσας, ὡς γραμματεύς θεοφόρος, καί αὐτῶν τῷ πνεύματι τόν νοῦν μου φώτισον.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Δωρεῶν πεπλησμένη, καί ἀρετῶν γέμουσα, τή καθαρωτάτη ζωή σου δίδως παράδειγμα, καί πρός οὐράνια, ἀνυψωθεῖσα πρεσβεύεις, διά τοῦτο, Παναγνέ, ἔχω προστάτιν σέ.

Αἴτησις ὑπό τοῦ ἱερέως. Εἶτα Κάθισμα. Ἦχος β'. Τά ἄνω ζητῶν.

Εὐχή τόν ἐχθρόν κατέβαλες, Νικόδημε, ὑψώσας τόν νοῦν λειμῶσι κατετρύφησας τοῦ Ἁγίου Πνεύματος. Θεοφόρε ὅσιε, πρέσβευε, ὡς παρρησίαν ἔχων πρός Χριστόν, Θεῶ καί ἡμᾶς ὑψοῦσθαι πάντοτε.

Ὠδή δ΄. Εἰσακήκοα, Κύριε.
Ὅσιέ του Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Ἡ τοῦ πνεύματος ἄσκησις, καί τό ταπεινόν της καρδίας, Ὅσιε, σέ κατέστησαν θεόφιλον, καί χριστιανῶν μεσίτην τέλειον.
Ὅσιέ του Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Μιμνησκόμενοι ἅπαντες, τῶν ἁμαρτιῶν ἡμῶν, ἱκετεύομεν, τόν Σωτῆρα ταῖς πρεσβείαις σου, διασῶσαι πάντας τούς ὑμνοῦντας σέ.
Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Ὀρθοδόξων τό καύχημα, καί τῶν μοναζόντων τό ἐγκαλλώπισμα, ἱκετεύομεν σέ, Ὅσιε, τούς τιμώντας σέ σκέπειν ἀείποτε.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.
Νῦν ἰδόντες τάς χάριτας καί τάς δωρεᾶς σου, μόνη πανύμνητε, τή πρεσβεία σου προστρέχομεν, ἵνα πάντες σκέπη σου φρουρώμεθα.

Ὠδή ἐ΄. Φώτισον ἡμᾶς.
Ὅσιέ του Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Ἄνακτα Θεόν, ὑπηρέτησας, Νικόδημε, ὡς δοῦλος τέλειος ἱδρῶσι χαρᾶς, καί εὐφροσύνη τῆς καρδίας σου ἐλάτρευσας.
Ὅσιέ του Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Γόνιμος ἡμίν ἡ σπορά σου ἀνεδείχθη, σοφέ, τῆς οὐρανίου μακαριότητος, κατατρυφῶντες τῶν θείων βιβλίων σου,

γευόμεθα.
Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.
Ἴθυνον ἡμᾶς, πρός τόν Κύριον, Νικόδημε, τοῦ συγχωρῆσαι τάς ψυχᾶς ἤμων, καί φῶς λαβόντες τῷ πνεύματι λαμπρυνθήσεσθαι.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.
Ὄντως οἱ πιστοί, οὐ δυνάμεθα ὑμνῆσαί σου τά μεγαλεία, Θεονύμφευτε Ἀγνή, ἀλλά τή σκέπη καί πρεσβεία σου προστρέχομεν.

Ὠδή στ΄. Τήν δέησιν ἐκχεῶ.
Ὅσιέ του Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Ρακώδης εἰς Σκυροπούλαν ἔζησας, δεκελλίτης, σκαπανεύς, ὡς χειρώναξ, ἀλλ' ἐν καρδία σου ἔφερες, Πάτερ, ἐν εὐφροσύνη ἀγάπης τόν Κύριον, λατρεύσας πόθω τῷ Θεῷ, ἐδοξάσθης, Νικόδημε ὅσιε.
Ὅσιέ του Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Ἐν Πνεύματι, τῷ Ἁγίω ἔγραψας, τάς πολλᾶς σωτηριώδεις σου βίβλους, ἅς ἀναγνῶντες πλουτίζομεν πάντων, τῶν τοῦ Θεοῦ χαρισμάτων καί Πνεύματος, δεόμεθα ταλις σαῖς εὐχαῖς,τοῦ Κυρίου λυτρώσασθαι ἅπαντας.
Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.
Ἰσχύσας τῷ πνεύματί σου, Ὅσιε, κατεπόνεις τό σόν σῶμα τοῖς κόποις, καί θεηγόρος Διδάσκαλος λάμψας, ἐχειραγώγεις τούς πάντας πρός Κύριον, Νικόδημε, καί νῦν ἡμῶν, τάς καρδίας καί τόν νοῦν χειραγώγησον.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.
Τήν μόνην τῶν γυναικών πανάμωμον, πεπλησμένην Πνεύματος Ἁγίου, τήν Μαριάμ ἰκετεύσομεν πάντες, τήν τόν Σωτήρα τοῦ κόσμου κυήσασαν, διδόναι ἡμίν δωρεᾶς, ἅς καί ἔλαβε Πνεύματος χάριτι.

Διασωσον τούς ὑμνητᾶς σου, Νικόδημε θεοφόρε, ὅτι χάρισιν ὁ Θεός πολλαῖς σέ ἐκόσμησε, παρέχων σοί δύναμιν προστατεύειν.
Ἄχραντε, ἡ διά Λόγου τόν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικήν παρρησίαν. χριστιανος.gr

Αἴτησις καί τό Κοντάκιον.
Ἦχος πλ. δ᾽. Τή ὑπερμάχω.
Τόν ὑψιπέτην, οὐρανίων μύστην ἄριστον, τῶν θεοσόφων συγγραμμάτων τόν Διδάσκαλον, Ἐκκλησίας τό ἑδραίωμα καί τεῖχος, τήν φιλέρημον τρυγόνα, καλλικέλαδον, ἀνυμνοῦμεν οἱ πιστοί καί γεραίρομεν, ἁγιώτατε, χαίροις πάτερ Νικόδημε.

Καί εὐθύς τό Προκείμενον.
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσιου αὐτοῦ (δίς).
Στίχ. Τό στόμα μου λαλήσει σοφίαν καί ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσιου αὐτοῦ.

Ἐκ τοῦ κατά Ματθαῖον, ἁγίου Εὐαγγελίου, τό Ἀνάγνωσμα.
Προσχωμεν.
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Πάντα μοί παρεδόθη ὑπό τοῦ Πατρός μου, καί οὐδείς ἐπιγινώσκει τόν Υἱόν, εἰ μή ὁ Πατήρ, οὐδέ τόν Πατέρα τίς ἐπιγινώσκει, εἰ μή ὁ Υἱός καί ᾧ ἐάν βούληται ὁ Υἱός ἀποκαλύψαι. Δεῦτε πρός μέ πάντες οἱ κοπιῶντες καί πεφορτισμένοι, καγῶ ἀναπαύσω ὑμᾶς. Ἄρατε τόν ζυγόν μου ἐφ’ ὑμᾶς καί μάθετε ἀπ’ ἐμοῦ, ὅτι πράος είμι καί ταπεινός τή καρδία, καί εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν, ὁ γάρ ζυγός μου χρηστός καί

τό φορτίον μου ἐλαφρόν ἐστιν.

Ἦχος β΄.Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.
Ταῖς τοὑ σου Ὁσίου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Στίχ. Ἐλέησον μέ, ὁ Θεός, κατά τό μέγα ἔλεός σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τό ἀνόμημά μου.
Προσόμοιον, Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι...
Νάξιε Νικόδημε, τή σή ἐνθέῳ πορεία, ἀνεδείχθης Ὅσιος, καί ὡς ἄστρον ἔλαμψας ἐν ταῖς βίβλοις σου, χάριν γάρ ἔλαβες, μύστης χρηματίσας, τῶν χαρίτων τοῦ Παντάνακτος. Λόγοις καί πράξεσι γέγονας διδάσκαλος, Ὅσιε. Ὅθεν μυσταγωγούμενοι, τοῖς σοφοίς σου λόγοις κραυγάζομεν. Πρέσβευε Κυρίῳ, ὑπέρ τοῦ φωτισθῆναι τούς πιστούς, καί μελετώντας τάς βίβλους σου, θείας δόξης τεύξασθαι.

Ὠδή ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.
Ὅσιέ του Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Ἡ θεόπνευστος σκέψις, τῆς σοφίας λειμῶνα, κατευωδέστατον, ἐκ μύρου τοῦ Ἁγίου, ταῖς χάρισι καί γνώσει ἐνεφύτευσεν, Ὅσιε. Τῶν χαρισμάτων τῶν σῶν, ἡμεῖς κατατρυφῶμεν.
Ὅσιέ του Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Νικοδήμου τά ἔργα, βιοτής ἀναγλύφου, ἡμᾶς εὐφραίνουσι, ἐμπνέουσι τοῖς μύσταις, τόν Κύριον ζητῆσαι, καί ἐν πίστει προσεύξασθαι, καί εὐλογῆσαι Θεόν, τόν σώζοντα τόν κόσμον.

Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Ἰσχυρῶς ἠγωνίσθης, καί δικαίως ἐστέφθης, τῷ τοῦ ἀγῶνός σου, στεφάνω ἀφθαρσίας, διό καί παρρησία, ὡς σύ ἔχεις πρός Κύριον, καθικετεύειν αὐτόν, ἡμᾶς ἐλεηθῆναι.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.
Κυρία τῶν Ἀγγέλων, καί ἡμῶν προστασία, Θεογεννήτρια, ὡς ἔχεις ἐξουσίαν, ἀνθρώποις καί Ἀγγέλοις, προστατεύειν δεόμεθα, καί τῶν παντοίων κακῶν, ἡμᾶς ἐλευθερῶσαι.

Ὠδή ή΄. Τόν βασιλέα τῶν οὐρανῶν.
Ὅσιέ του Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Ἐμεγαλύνθης τή ἀρετή καί ἀσκήσει, καί ἡμίν συγγραφᾶς σου ἀφήκας, ὅθεν σέ, Πάτερ, δικαίως ἀνυμνοῦμεν.
Ὅσιέ του Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Τῶν χαρισμάτων τῶν θεϊκῶν σύ πλουτήσας, ὡς φωστήρ ἀνέτειλας ἀνθρώποις, διό δυσωποῦμεν, σόν φωτισμόν παρέχειν.
Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Ἐκ τῶν γήινων καί χαμερπῶν ἐξυψώθη ἡ ψυχή καί τό σῶμα σου, Πάτερ, ὅθεν σου ὑμνοῦμεν τούς ἄθλους καί τόν βίον.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.
Ὑπέρ Ἀγγέλους τιμιωτέρα κατέστης, ὡς χαρίτων πεπλησμένη, Παρθένε, ὅθεν ὑπό σκέπην τήν σήν ἡμᾶς φυλάττεις.

Ὠδή θ΄. Κυρίως Θεοτόκον.
Ὅσιέ του Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Οὐράνιον τόν βίον, ἔζησας ἐν Ἄθω, ἀναδειχθεῖς θεοφόρος σύ, Ὅσιε, καί τή ἀσκήσει ἀνέβης ἁγίαν κλίμακα.
Ὅσιέ του Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν.
Μαρτύρων καί ὅσιων, ὕμνησας τόν βίον, εἰς τάς σᾶς

βίβλους τοῖς λόγοις σου, Ὅσιε. Οὐρανοδρόμον πορείαν ἡμίν διανοιξον.
Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.
Ἐκλάμψας ταῖς ἀκτίσι, Πνεύματος Ἁγίου, τό ζοφερόν του νοός ἡμῶν φώτισον, ὡς καί πρεσβεύειν σέ, Πάτερ, Θεῷ αἰτούμεθα.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.
Ναός ὁ φωτοφόρος, λάμπρυνον, Παρθένε, τούς ἐντρυφώντας ταῖς βίβλοις, αἷς ὕμνησε, ὁ τῆς Ναξίας Νικόδημος, τάς σᾶς χάριτας.

Τό Ἄξιον ἐστιν καί τά Μεγαλυνάρια.
Ἄξιον ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σέ τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ, καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον, σέ μεγαλύνομεν.

Θυμιά ὁ ἱερεύς καί ἡμεῖς ψάλλομεν Μεγαλυνάρια τοῦ Ἁγίου Νικοδήμου
Χαίροις τῶν Πατέρων ὁ εὐκλεής, θείων διδαγμάτων, χρυσορρόας ὁ ποταμός, χαίροις ὁ συγγράψας τάς βίβλους τάς ἐνθέους, βαπτίσας τό πτερόν σου τῷ θείῳ Πνεύματι.
Χαίροις θεοφόρε Πάτερ ἡμῶν, καί τῆς νήσου Νάξου εὐωδέστατος ὁ καρπός, χαίροις Σκυροπούλης, φιλέρημον στρουθίον, καί πάντων τῶν ὁσίων τό ἐγκαλλώπισμα.
Ἐν Ὄρει Ἁγίῳ φωτολαμφθεῖς, χάριτι τῇ θεία τῇ καρδία καί τῷ νοί, Κύριον Σωτήρα ἐλάτρευσας ὁσίως, Νικόδημε παμμάκαρ, ἐνθέῳ βίῳ σου.
Νικόδημε θεῖε, σύ ἐλλαμφθεῖς, ἐν καιροῖς ὑστέροις τῆς πατρίδος τοῖς ζοφεροῖς, ἐφώτισας φέγγει τό Γένος τῶν

www.tezaurliturgic.ro

Ἑλλήνων, τῶν βίβλων τῶν ἐνθέων, ἅς σύ συνέγραψας.
Χαίροις τῆς Ναξίας θεῖος βλαστός, κλεινός θεολόγος, ὑψιπέτης πνευματικός, Νικόδημε πάτερ, ὁδῶ Θεολογίας, εὐχαῖς καί ἱκεσίαις σου χειραγώγησον.
Πᾶσαι τῶν Ἀγγέλων αἵ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τό σωθῆναι ἡμᾶς.

Μετά τήν ἀπόλυσιν ψάλλομεν τά τροπάρια:
Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σέ νεκρόν.
Δεῦτε σύν Ναξίοις οἱ πιστοί, τόν Ἁγιορείτην Πατέρα συνεορτάσωμεν νῦν, Νάξου γάρ τό βλάστημα, τῆς οἰκουμένης φωστήρ, ὁ Νικόδημος ἤθλησεν ὁσίως ἐν Ἄθω, τοῦτον καταστέψωμεν ἀγαλλιάσει θερμή, ὕμνοις καί ᾠδαῖς θεαρέστως, τούτω καί βοήσωμεν, πάντας φρούρει τέ καί φύλαττε, Νικόδημε.

Δέσποινα προσδεξαι, τάς δεήσεις τῶν δούλων σου, καί λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.
Τήν πάσαν ἐλπίδα μου, εἰς σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξον μέ ὑπό τήν σκέπην σου.

Δί’ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

